74.

# ΠΡΟΣ ΚΩΛΩΤΗΝ

(Plan. 73)

1. *Κωλώτης, ὃν Ἐπίκουρος εἰώθει Κωλωταρᾶν ὑποκορίζεσθαι καὶ Κωλωτάριον, ὦ Σατορνῖνε, βιβλίον ἐξέδωκεν ἐπιγράψας 'Περὶ τοῦ ὅτι κατὰ τὰ τῶν ἄλλων φιλοσόφων δόγματα οὐδὲ ζῆν ἔστιν'. ἐκεῖνο μὲν οὖν Πτολεμαίῳ* E *τῷ βασιλεῖ προσπεφώνηται· ἃ δ' ἡμῖν ἐπῆλθεν εἰπεῖν πρὸς τὸν Κωλώτην, ἡδέως ἂν οἶμαί σε γεγραμμένα διελθεῖν, φιλόκαλον καὶ φιλάρχαιον ὄντα καὶ τὸ μεμνῆσθαι καὶ διὰ χειρῶν ἔχειν ὡς μάλιστα δυνατόν ἐστι τοὺς λόγους τῶν παλαιῶν βασιλικωτάτην διατριβὴν ἡγούμενον.*

2. *Ἔναγχος οὖν ἀναγινωσκομένου τοῦ συγγράμματος εἷς τῶν ἑταίρων, Ἀριστόδημος ὁ Αἰγιεύς (οἶσθα γὰρ τὸν ἄνδρα τῶν ἐξ Ἀκαδημείας οὐ ναρθηκοφόρον ἀλλ' ἐμμανέστατον ὀργιαστὴν Πλάτωνος), οὐκ οἶδ' ὅπως παρὰ τὸ εἰωθὸς ἐγκαρτερήσας σιωπῇ καὶ παρασχὼν ἑαυτὸν ἀκροατὴν ἄχρι τέλους κόσμιον, ὡς τέλος ἔσχεν ἡ ἀνάγνωσις, 'εἶεν' ἔφη, 'τίνα τούτῳ μαχούμενον ἀνίσταμεν ὑπὲρ τῶν* F *φιλοσόφων; οὐ γὰρ ἄγα ⟨μαι τὸ⟩ τοῦ Νέστορος ἑλέσθαι*